eul_wid: rye-bk

*Θεμίστιος ὁ Εὐφραδής* · Themistius the Philosopher

# On Prudence

## *Περὶ φρονήσεως*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Eclectic

t 1 FRAGMENTUM ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ ******** φρονοῦσα ὑπὲρ ὧν λέγει, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένη, ἣν οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς· ἀλλὰ καὶ ἃς ἐκεῖναι δι' ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περικρούουσα ἐκκαθαίρει καὶ βεβαιοῦται.

299 d εὖ οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πείσματα αὐτῶν ἐνθένδε ἐξῆπται καὶ ὅτι ἀρχιτέκτων οὖσα αὐταῖς ἐπιστατεῖ καὶ ὑφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων, οὐχ ὅτι αὐτὴ προὔργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς.

300 a πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία, καὶ βούλεται οἷον ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας γνωματεύειν ἑκάστην καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ εἴτε βλαβερὰ καὶ ἀκροσφαλής, καὶ ἥντινα μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, ἥντινα δὲ αὖ παντάπασιν ἐξοριστέον ὡς αἶσχος πόλεως ἐν τοῖς ἀρρωστήμασι.

300 b τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ' ἑαυτῇ τεταγμένα χειρουργεῖν ἱκανὴ καὶ πᾶσι σκευάζειν τοῖς δεομένοις, ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής. ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πονηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα· καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται οὔτε ὁ ναυπηγὸς εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἁρμονίδης, οὔτε ὁ κυβερνήτης εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν. εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται καὶ οὐ συγχωρήσει ὥσπερ τυφλοῖς προτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι.

300 c τοῦτ' οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.